# ΚΑΝΟΝΑ ΠΙΣΤΕΩΣ - MODEL OF FAITH



**GREEK ORTHODOX ARCHDIOCESE OF AUSTRALIA**
**PARISH OF SAINT NICHOLAS MARRICKVILLE**
Priest: Fr Michael Tsolakis 0418 883 107 | 9558 4453
www.stnicholas.com.au | FaceBook: Parish St Nicholas Marrickville

## Κυριακή 21 Ιούλιος 2024
## Κυριακή Δ΄Ματθαΐου

**Ἀπολυτίκιον Ἀναστάσιμον Ἦχος γ'.**
Εὐφραινέσθω τὰ οὐράνια, ἀγαλλιάσθω τὰ ἐπίγεια, ὅτι ἐποίησε κράτος, ἐν βραχίονι αὐτοῦ, ὁ Κύριος, ἐπάτησε τῷ θανάτῳ τὸν θάνατον, πρωτότοκος τῶν νεκρῶν ἐγένετο, ἐκ κοιλίας ᾅδου ἐρρύσατο ἡμᾶς, καὶ παρέσχε τῷ κόσμῳ τὸ μέγα ἔλεος.

**Ἀπολυτίκιον Τοῦ Ἁγίου Νικολάου.**
Κανόνα πίστεως καὶ εἰκόνα πραότητος, ἐγκρατείας διδάσκαλον, ἀνέδειξέ σε τῇ ποίμνῃ σου, ἡ τῶν πραγμάτων ἀλήθεια· διὰ τοῦτο ἐκτήσω τῇ ταπεινώσει τὰ ὑψηλά, τῇ πτωχείᾳ τὰ πλούσια, Πάτερ ἱεράρχα **Νικόλαε**· πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Ἀπολυτίκιον. Κοσμά και Δαμιανού**
Άγιοι Ανάργυροι καί θαυματουργοί, επισκέψασθε τάς ασθενείας ημών, δωρεάν ελάβετε, δωρεάν δότε ημίν.

**Ἀπολυτίκιον Τοῦ Ἁγίου Παΐσιου**
**Τόν συνάναρχον Λόγον**
Αὐστραλίας προστάτην, φρουρόν τε ἄγρυπνον, καί τοῦ Ἄθωνος ὄρους στύλον ἀείφωτον, ἀνυμνήσωμεν πιστοί, θεῖον **Παΐσιον**, ἐξαιτούμενοι αὐτοῦ τάς πρεσβείας πρός Θεόν, κραυγάζοντες ὁμοφρόνως· ῥύου ὦ πάτερ παντοίων, τῶν τοξευμάτων τοῦ ἀλάστορος.

## Sunday 21 July 2024
## 4th Sunday of Matthew

**Resurrectional Apolytikion**
Let the heavens rejoice and the earth be glad, for the Lord has done a mighty deed with his arm: by death he has trampled on death, the first-born of the dead he has become; from Hades' depths he has delivered us, and granted to the world his great mercy.

**St Nicholas Hymn**
A model of faith and the image of gentleness, the example of your life has shown you forth to your sheep-fold to be a master of temperance. You obtained thus through being lowly, gifts from on high, and riches through poverty, **Nicholas**, our father and priest of priests, intercede with Christ our God that He may save our soul.

**Sts Cosmas & Damianos**
Sainted Unmercenaries and Wonder Workers, regard our infirmities; freely you have received, freely share with us.

**St Paisios Hymn**
**The Word Eternal**
O Protector of Australia, vigilant guardian and resplendent pillar of Mount Athos, we the faithful let us praise the holy **Paisios**, and beseeching his intercessions before God, crying out with one voice, deliver us, O father of all, from the arrows of the vengeful one.

**Κοντάκιον**

Περιβολὴν πᾶσι πιστοῖς ἀφθαρσίας, θεοχαρίτωτε Ἁγνὴ ἐδωρήσω, τὴν ἱερὰν Ἐσθῆτά σου, μεθ’ ἧς τὸ ἱερόν, σῶμά σου ἐσκέπασας, σκέπη θεία ἀνθρώπων· ἧς περ τὴν κατάθεσιν, ἑορτάζομεν πόθῳ, καὶ ἐκβοῶντες κράζομεν πιστῶς· Χαῖρε Παρθένε, Χριστιανῶν τὸ καύχημα.

**Kontakion**

You have bestowed your sacred Garment, O Lady, to be a robe of incorruption, O pure one, for all the faithful, O divine protection of mankind; for with it you had arrayed your most pure sacred body. Now with longing we observe the feast of its bestowal, and in a loud voice we cry out with faith: Rejoice, O Virgin, the boast of Christians everywhere.

**ΑΠΟΣΤΟΛΟΣ**
**Προς ῾Ρωμαίους Ἐπιστολῆς Παύλου**
**(ϛ΄, 18-23)**

Ἀδελφοί, ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας ἐδουλώθητε τῇ δικαιοσύνῃ. ἀνθρώπινον λέγω διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς ὑμῶν. ὥσπερ γὰρ παρεστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ καὶ τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν, οὕτω νῦν παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν. ὅτε γὰρ δοῦλοι ἦτε τῆς ἁμαρτίας, ἐλεύθεροι ἦτε τῇ δικαιοσύνῃ. τίνα οὖν καρπὸν εἴχετε τότε ἐφ᾿ οἷς νῦν ἐπαισχύνεσθε; τὸ γὰρ τέλος ἐκείνων θάνατος. νυνὶ δὲ ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας δουλωθέντες δὲ τῷ Θεῷ ἔχετε τὸν καρπὸν ὑμῶν εἰς ἁγιασμόν, τὸ δὲ τέλος ζωὴν αἰώνιον. τὰ γὰρ ὀψώνια τῆς ἁμαρτίας θάνατος, τὸ δὲ χάρισμα τοῦ Θεοῦ ζωὴ αἰώνιος ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

**EPISTLE**
**Paul's Letter to the Romans**
**(6: 18-23)**

Brethren, having been set free from sin, you have become slaves of righteousness. I am speaking in human terms, because of the weakness of your flesh. For just as you once yielded your members to impurity and to greater and greater iniquity, so now yield your members to righteousness for sanctification. When you were slaves of sin, you were free in regard to righteousness. But then what return did you get from the things of which you are now ashamed? The end of those things is death. But now that you have been set free from sin and have become slaves of God, the return you get is sanctification and its end, eternal life. For the wages of sin is death, but the free gift of God is eternal life in Christ Jesus our Lord.

**Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου (η′, 5-13)**

Τῷ καιρῷ ἐκείνῳ, εἰσελθόντι δὲ αὐτῷ εἰς Καπερναοὺμ προσῆλθεν αὐτῷ ἑκατόνταρχος παρακαλῶν αὐτὸν καὶ λέγων· Κύριε, ὁ παῖς μου βέβληται ἐν τῇ οἰκίᾳ παραλυτικός, δεινῶς βασανιζόμενος. καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· ἐγὼ ἐλθὼν θεραπεύσω αὐτόν. καὶ ἀποκριθεὶς ὁ ἑκατόνταρχος ἔφη· Κύριε, οὐκ εἰμὶ ἱκανὸς ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς· ἀλλὰ μόνον εἰπὲ λόγῳ, καὶ ἰαθήσεται ὁ παῖς μου. καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν, ἔχων ὑπ᾿ ἐμαυτὸν στρατιώτας, καὶ λέγω τούτῳ, πορεύθητι, καὶ πορεύεται, καὶ ἄλλῳ, ἔρχου, καὶ ἔρχεται, καὶ τῷ δούλῳ μου, ποίησον τοῦτο, καὶ ποιεῖ. ἀκούσας δὲ ὁ Ἰησοῦς ἐθαύμασε καὶ εἶπε τοῖς ἀκολουθοῦσιν· ἀμὴν λέγω ὑμῖν, οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον. λέγω δὲ ὑμῖν ὅτι πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξουσι καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, οἱ δὲ υἱοὶ τῆς βασιλείας ἐκβληθήσονται εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. καὶ εἶπεν ὁ Ἰησοῦς τῷ ἑκατοντάρχῳ· ὕπαγε, καὶ ὡς ἐπίστευσας γενηθήτω σοι. καὶ ἰάθη ὁ παῖς αὐτοῦ ἐν τῇ ὥρᾳ ἐκείνῃ.

**Holy Gospel according to St Matthew (8:5-13)**

At that time, as Jesus entered Capernaum, a centurion came forward to him, beseeching him and saying, "Lord, my servant is lying paralyzed at home, in terrible distress." And he said to him, "I will come and heal him." But the centurion answered him, "Lord, I am not worthy to have you come under my roof; but only say the word, and my servant will be healed. For I am a man under authority, with soldiers under me; and I say to one, 'Go,' and he goes, and to another, 'Come,' and he comes, and to my slave, 'Do this,' and he does it." When Jesus heard him, he marveled, and said to those who followed him, "Truly, I say to you, not even in Israel have I found such faith. I tell you, many will come from east and west and sit at table with Abraham, Isaac, and Jacob in the kingdom of heaven, while the sons of the kingdom will be thrown into the outer darkness; there men will weep and gnash their teeth." And to the centurion Jesus said, "Go; be it done for you as you have believed." And the servant was healed at that very moment.

**Συναξάριον**
**Τοῦ Μηναίου.**

Τῇ ΚΑ' τοῦ αὐτοῦ μηνός, μνήμη τῶν Ὁσίων Πατέρων ἡμῶν Ἰωάννου καὶ Συμεὼν τοῦ διὰ Χριστὸν σαλοῦ.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ἁγίου Μάρτυρος Ἀκακίου ἐν τῷ Επτασκάλῳ. Καὶ τῆς ἀθλήσεως τῶν Ἁγίων Μαρτύρων Θεοφίλου, Τροφίμου καὶ τῷ σὺν αὐτοῖς δεκατριῶν. Καὶ τῶν Ἁγίων Μαρτύρων Ἰούστου, Ματθαίου. Καὶ ἡ Σύναξις τῆς Ὑπεραγίας Θεοτόκου ἐν τοῖς Ἁρματίου.

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ Ἅγιοι τρεῖς Μάρτυρες οἱ ἐν Μελιτηνῇ, κατὰ πετρῶν συρόμενοι τελειοῦνται.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν Ἁγίων Μαρτύρων Γεωργίου, Θεοδώρου καὶ Εὐγενίου.

Ὁ Ὅσιος Πατὴρ ἡμῶν Παρθένιος, Επίσκοπος Ῥαδοβυσδίου Ἄρτης, ἐν εἰρήνῃ τελειοῦται ἐν ἔτει 1777.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

**Synaxarion**
**From the Menaion.**

On July 21, we commemorate our devout Fathers John and Symeon the Fool for Chirst.

On this day we also commemorate the holy Martyr Acakius of Cappadocia, in Heptascalon; and the contest of the holy Martyrs Theophilus, Trophimus, and the thirteen with them; and the holy Martyrs Justus and Matthew; and we also celebrate the Synaxis of the Most Holy Theotokos in the district of Armatius.

On this day the three holy Martyrs of Melitene died as they were dragged over rocks.

On this day we also commemorate the holy Martyrs George, Theodore, and Eugene.

Our devout Father Parthenius, Bishop of Radobysdion, Arta, reposed in peace in the year 1777.

By their holy intercessions, O God, have mercy on us. Amen.